*Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.*
*Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.*
*Τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.*
*Τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.*
*Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ.*
*Τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν.*
*Τρόπος δίκαιος κτῆμα τιμιώτατον.*
*Τύχη τὰ θνητῶν πράγματ᾽, οὐκ εὐβουλία.*
*Τὰ χρήματ᾽ ἀνθρώποισιν εὑρίσκει φίλους.*
*Τάχισθ᾽ ὁ καιρὸς μεταφέρει τὰ πράγματα.*
*Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.*
*Τὸ μηδὲν εἰκῇ πανταχοῦ ᾽στι χρήσιμον.*
*Τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.*
*Ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.*
*Τὸν εὖ ποιοῦνθ᾽ ἕκαστος ἡδέως ὁρᾷ.*
*Τύχη τέχνην ὤρθωσεν, οὐ τέχνη τύχην.*